4 Σελεύκῳ τῷ βασιλεῖ. 4 τούτων ἕκαστα γνοὺς ὁ Ἀπολλώνιος τὸν
μὲν Σιμωνα τῆς εἰς τὸν βασιλέα κηδεμονίας ἐπαινεῖ, πρὸς δὲ τὸν
5 Σέλευκον ἀναβὰς κατεμήνυσε τὸν τῶν χρημάτων θησαυρόν. 5 καὶ
λαβὼν τὴν περὶ αὐτῶν ἐξουσίαν ταχὺ εἰς τὴν πατρίδα ἡμῶν μετὰ
6 τοῦ καταράτου Σιμωνος καὶ βαρυτάτου στρατοῦ 6 προσελθὼν ταῖς
τοῦ βασιλέως ἐντολαῖς ἥκειν ἔλεγεν ὅπως τὰ ἰδιωτικὰ τοῦ γαζο-
7 φυλακίου λάβοι χρήματα. 7 καὶ τοῦ ἔθνους πρὸς τὸν λόγον σχε-
τλιάζοντος ἀντιλέγοντός τε, πάνδεινον εἶναι νομίσαντες εἰ οἱ τὰς
παρακαταθήκας πιστεύσαντες τῷ ἱερῷ θησαυρῷ στερηθήσονται,
8 ὡς οἷόν τε ἦν ἐκώλυον. 8 μετὰ ἀπειλῶν δὲ ὁ Ἀπολλώνιος ἀπῄει
9 εἰς τὸ ἱερόν. 9 τῶν δὲ ἱερέων μετὰ γυναικῶν καὶ παιδίων ἐν τῷ
ἱερῷ ἱκετευσάντων τὸν θεὸν ὑπερασπίσαι τοῦ ἱεροῦ καταφρονου-
10 μένου τόπου 10 ἀνιόντος τε μετὰ καθωπλισμένης τῆς στρατιᾶς τοῦ
Ἀπολλωνίου πρὸς τὴν τῶν χρημάτων ἁρπαγὴν οὐρανόθεν ἔφιπποι
προυφάνησαν ἄγγελοι περιαστράπτοντες τοῖς ὅπλοις καὶ πολὺν
11 αὐτοῖς φόβον τε καὶ τρόμον ἐνιέντες. 11 καταπεσών γέ τοι ἡμιθα-
νὴς ὁ Ἀπολλώνιος ἐπὶ τὸν πάμφυλον τοῦ ἱεροῦ περίβολον τὰς
χεῖρας ἐξέτεινεν εἰς τὸν οὐρανὸν καὶ μετὰ δακρύων τοὺς Εβραίους
παρεκάλει ὅπως περὶ αὐτοῦ προσευξάμενοι τὸν οὐράνιον ἐξευμενί-
12 σωνται στρατόν. 12 ἔλεγεν γὰρ ἡμαρτηκὼς ὥστε καὶ ἀποθανεῖν
ἄξιος ὑπάρχειν πᾶσίν τε ἀνθρώποις ὑμνήσειν σωθεὶς τὴν τοῦ ἱε-
13 ροῦ τόπου μακαριότητα. 13 τούτοις ὑπαχθεὶς τοῖς λόγοις Ονιας ὁ
ἀρχιερεύς, καίπερ ἄλλως εὐλαβηθείς, μήποτε νομίσειεν ὁ βασιλεὺς
Σέλευκος ἐξ ἀνθρωπίνης ἐπιβουλῆς καὶ μὴ θείας δίκης ἀνῃρῆσθαι
14 τὸν Ἀπολλώνιον ηὔξατο περὶ αὐτοῦ. 14 καὶ ὁ μὲν παραδόξως δια-
σωθεὶς ᾤχετο δηλώσων τῷ βασιλεῖ τὰ συμβάντα αὐτῷ.
15 15 Τελευτήσαντος δὲ Σελεύκου τοῦ βασιλέως διαδέχεται τὴν ἀρ-
χὴν ὁ υἱὸς αὐτοῦ Ἀντίοχος ὁ Ἐπιφανής, ἀνὴρ ὑπερήφανος καὶ
16 δεινός, 16 ὃς καταλύσας τὸν Ονιαν τῆς ἀρχιερωσύνης Ιασονα τὸν
17 ἀδελφὸν αὐτοῦ κατέστησεν ἀρχιερέα 17 συνθέμενον δώσειν, εἰ ἐπιτρέ-
ψειεν αὐτῷ τὴν ἀρχήν, κατ᾽ ἐνιαυτὸν τρισχίλια ἑξακόσια ἑξήκοντα
18 τάλαντα. 18 ὁ δὲ ἐπέτρεψεν αὐτῷ καὶ ἀρχιερᾶσθαι καὶ τοῦ ἔθνους
19 ἀφηγεῖσθαι· 19 καὶ ἐξεδιῄτησεν τὸ ἔθνος καὶ ἐξεπολίτευσεν ἐπὶ πα-

4 κατεμηνυσε] σ > A† || 5 λαβων ... ταχυ] ελαβεν ... και ταχυ SV† || 6 προσελθων] σ > S*V(†) || 7 σχετλιασαντος A | νομισαντες] νοησ. S | οι/τας παρακαταθηκας] tr. S† || 8 απειλων] -λης A || 9 ιερεων] γεραιων S | ιερου > A† | τοπου] pr. του S || 10 της > A | εφιπποι πρου(uel ε)φαν. αγγελοι pl.] αγγ. προυφ. εφιπποι S†, προυφ. εφιπποι αγγ. A | αυτοις] -των S†, -τω mu. | ενιεντες] -ιοντες AV† || 11 γε(cf. 5 1)] δε S | και > A† | προσευξαμενοι] εξομ. A*†, ευξομ. A^c† | ουρανιον] pr. επ A† || 13 υπαχθεις] επ. A† | ανηρησασθαι A† || 15 ο $1^0$ > S*, $2^0$ > A | και > A† || 17 συνθεμενον] -νος S* | τρισχιλια] τρισ > S*† || 18 και $1^0$ > A | του εθν./αφηγ.] tr. S† || 19 init.] pr. ος A | εξεδιητησεν] εξεζητ. A†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1214 UNIVERSITÄT LEIPZIG